# GEI025

## Athens. Decree on the lease of the precinct of Kodros, Neleus and Basile

**Description:** Complete stele of Pentelic marble. The upper part bears a relief with a seated figure holding a spear or sceptre (left) and a figure with chlamys riding a rearing horse (right). The relief has been rough-pickled, probably for reuse (dimensions: h:1.49 m w:0.59-0.64 m d: 0.195 m )

**Layout:** Stoichedon 52

**Letters:** Attic letters. Letters heights: h:0.01 m m

**Origin:** Athens, Sanctuary of Neleus (?)

**Dating:** 418/7 BC

**Findspot:** Athens, foundations of a private house in the South-east slope of the Acropolis

**Current location:** Epigraphical Museum of Athens (inv. EM 10616)

**Reference Edition:** R.E. Wycherley, IG I$^{3}$ 84

**Other Editions:** Koumanoudes 1884, 161-66 (ed. princeps); A. Kirchhoff, IG I Suppl. 53a; C. Michel, Recueil 77; von Prott, Ziehen, LGS II 13; W. Dittenberger, Syll.$^{3}$ 93; F. Hiller von Gaertringen, IG I$^{2}$ 94; F. Sokolowski, LSCG 14; R. Osborne, P.J. Rhodes, GHI 167

**Photographs:** Lawton 1995, no. A4, Pl. 2

**Translations:** Le Guen-Pollet 1991, no. 31 (French); Brun 2005, no. 130 (French); R. Osborne, P.J. Rhodes, GHI 167 (English); S. Lambert, N. Papazarkadas, R. Osborne, AIO online (https://www.atticinscriptions.com/inscription/IGI3/84, English)

**Bibliography:** Wheeler 1887, 38-49; Meritt 1936, 180-82; Walter 1937, no. 1; Meritt 1946, 45-46; Wycherley 1960, 60-66; D. Behrend, Attische Pachturkunden 6; Meyer 1989, no. A7; Robertson 1988, 225-227; Lawton 1995, no. A4; M. Langdon, Agora XIX, 159 ff. and passim; Le Guen-Pollet 1991, no. 31; J. Travlos 1971, 332-333; Brun 2005, no. 130; Papazarkadas 2011, 53-63 and passim; S. Lambert, AIO online (https://www.atticinscriptions.com/inscription/IGI3/84)

θεοί·
ἔδοχσεν τε͂ι βολε͂ι καὶ τõι δέμοι· Πανδιονὶς ἐπρυτάνευε, Ἀριστόχ-
[σ]ενος ἐγραμμάτευε, Ἀντιοχίδες ἐπεστάτει, Ἀντιφõν ἔρχε, Ἀδόσιο-
[ς ε]ἶπε· ἔρχσαι τὸ hιερὸν τõ Κόδρο καὶ τõ Νελέος καὶ τε͂ς Βασίλες κ[α-]
ὶ μισθõσαι τὸ τέμενος κατὰ τὰς συνγραφάς. οἱ δὲ πολεταὶ τὲν ἔρχσ[ι-]


© Laboratorio SAET - Scuola Normale Superiore

ν̣ ἀπομισθοσάντον. τὸ δὲ τέμενος ὁ βασιλεὺς ἀπομισθοσάτο κατὰ [τ-]ὰς χσυνγραφὰς, καὶ τὸς ὁριστὰς ἐπιπέμφσαι ὁρίσαι τὰ hιερὰ ταῦτα, ὅπος ἂν ἔχει ὁς βέλτιστα καὶ εὐσεβέστα<τα>. τὸ δὲ ἀργύριον ἐς τὲν ἔρχ-σιν ἀπὸ τõ τεμένος εἶναι. πρᾶχσαι δὲ ταῦτα πρὶν ἒ ἐχσιέναι τένδε τὲν βολέν, ἒ εὐθύνεσθαι χιλίασι δραχμε͂σι ἕκαστον κατὰ τὰ εἰρε-μένα [.] Ἀδόσιος εἶπε· τὰ μὲν ἄλλα καθάπερ τε͂ι βολε͂ι, ὁ δὲ βασιλεὺς μ-[ι]σθοσάτο καὶ οἱ πολεταὶ τὸ τέμενος τõ Νελέος καὶ τε͂ς Βασίλες κα-[τ]ὰ τὰς χσυνγραφὰς εἴκοσι ἔτε· τὸν δὲ μισθοσάμενον ἕρχσαι τὸ hιε-[ρ]ὸν τõ Κόδρο καὶ τõ Νελέος καὶ τε͂ς Βασίλες τοῖς ἑαυτõ τέλεσιν· ὁπ-[ό]σεν δ’ ἂν ἄλφει μίσ[θ]οσιν τὸ τέμενος κατὰ τὸν ἐνιαυτὸν ἕκαστον, κ-αταβαλλέτο τὸ ἀργύριον ἐπὶ τε͂ς ἐνάτες πρυτανείας τοῖς ἀποδέκ-ται[ς], οἱ δὲ ἀποδέκται τοῖς ταμίαισι τõν ἄλλον θεõν παραδιδόντον [κ]ατὰ τὸν νόμον· ὁ δὲ βασιλεὺς ἐὰν μὲ ποιέσει τὰ ἐφσεφισμένα ἒ ἄλλ-ος τις οἷς προτέτακται περὶ τούτον ἐπὶ τε͂ς Αἰγείδος πρυτανεί-ας, εὐθυνέσθω μυρίεσι δραχμε͂σιν. τὸν δὲ ἐονεμένον τὲν ἰλὺν ἐκκο-μίσασθαι ἐκ τε͂ς τάφρο ἐπὶ τε͂σδε τε͂ς βολε͂ς ἀποδόντα τὸ ἀργύριον τõι Νελεῖ ὅσο ἐπρίατο· ὁ δὲ βασιλεὺς ἐχσαλεψάτο τὸν πριάμενον τ-ὲν ἰλύν, ἐπειδὰν ἀποδõι τὲμ μίσθοσιν· τὸν δὲ μισθοσάμενον τὸ τέμ-ενος καὶ ὁπόσο ἂν μισθόσεται ἀντενγραφσάτο ὁ βασιλεὺς ἐς τὸν τ-οῖχον καὶ τὸς ἐγγυετὰς κατὰ τὸν νόμον ὅσπερ κεῖται τõν τεμενõν. τὸ δὲ φσέφισμα τόδε, ὅπος ἂν ε͂ι εἰδέναι τõ[ι] βολομένοι, ἀναγράφσα-ς ὁ γραμματεὺς ὁ τε͂ς βολε͂ς ἐν στέλει λιθίνει καταθέτο ἐν τõι Νελεί-οι παρὰ τὰ ἴκρια· οἱ δὲ κολακρέται δόντον τὸ ἀργύριον ἐς ταῦτα [..] μισθõν δὲ βασιλέα τὸ τέμενος τõ Νελέος καὶ τε͂ς Βασίλες κατὰ τάδε· τὸν μισθοσάμενον ἕρχσαι μὲν τὸ hιερὸν τõ Κόδρο καὶ τõ Νελέ-ος καὶ τε͂ς Βασίλες κατὰ τὰς χσυνγραφὰς ἐπὶ τε͂ς βολε͂ς τε͂ς εἰσιόσ-ες, τὸ δὲ τ[έ]μενο[ς] τõ Νελέος καὶ τε͂ς Βασίλες κατὰ τάδε ἐργάζεσθαι·-φυτεῦσαι φυτευτέρια ἐλαõν μὲ ὄλεζον ἒ διακόσια, πλέονα δὲ ἐὰν β-όλεται, καὶ τε͂ς τάφρο καὶ τõ ὕδατος κρατε͂ν τõ ἐγ Διὸς τὸν μισθοσά-μενον, ὁπόσον ἐντὸς ῥεῖ τõ Διονυσίο καὶ τõν πυλõν ε͂<ι> ἅλαδε ἐ[χ]σελα-ύνοσιν οἱ μύσται καὶ ὁπόσον ἐντὸς τε͂ς οἰκίας τε͂ς δεμοσίας καὶ τ-õν πυλõν αἳ ἐπὶ τὸ Ἰσθμονίκο βαλανεῖον ἐκφέροσι· μισθõν δὲ κατὰ εἴκοσι ἐτõν.

Brun, P. (2005), Impérialisme et dèmocratie à Athénes. Inscriptions de l’époque classique, Paris
Koumanudes, S.A. (1884), ‘Ἀττικὸν ψήφισμα’, AE, 161-166
Lawton, C.L. (1995), Attic Document Reliefs. Art and Politics in Ancient Athens, Oxford
Le Guen-Pollet, B. (1991), La vie religieuse dans le monde grec du Ve au IIIe siècle avant


© Laboratorio SAET - Scuola Normale Superiore

notre ère. Choix de documents épigraphiques traduits et commentés, Toulouse
Meritt, B.D. (1936), ‘A new date in the fifth century’, AJPh 57, 180-182
Meritt, B.D. (1946), ‘Note on Athenian Calendar’, CQ 40, 45-46
Meyer, M. (1989), Die griechischen Urkundenreliefs, Berlin
Papazarkadas, N. (2011), Sacred and Public Land in Ancient Athens, Oxford
Robertson, N. (1988), ‘Melanthus, Codrus, Neleus, Caucon: Ritual Myth as Athenian History’, GRBS 29, 201-261
Travlos, J. (1971), Bildlexicon zur Topographie des antiken Athen, Tübingen
Walter, O. (1937), ‘Die Reliefs aus dem Heiligtum der Echeliden in Neu-Phaleron’, AE, 97-119
Wheeler, J.R. (1887), ‘An Attic decree, the sanctuary of Kodros’, AJA 3, 38-49
Wycherley, R.E. (1960), ‘Neleion’, ABSA 55, 60-66


© Laboratorio SAET - Scuola Normale Superiore